# ΕΙΣ ΝΕΚΡΟΝ ΑΔΩΝΙΝ

Ἄδωνιν ἡ Κυθήρη
ὡς εἶδε νεκρὸν ἤδη
στυγνὰν ἔχοντα χαίταν
ὠχράν τε τὰν παρειάν,
ἄγειν τὸν ὗν πρὸς αὐτάν
ἔταξε τὼς Ἔρωτας.
οἱ δ' εὐθέως ποτανοί
πᾶσαν δραμόντες ὕλαν
στυγνὸν τὸν ὗν ἀνεῦρον,
δῆσαν δὲ καὶ πέδασαν.
χὡ μὲν βρόχῳ καθάψας
ἔσυρεν αἰχμάλωτον,
ὁ δ' ἐξόπισθ' ἐλαύνων
ἔτυπτε τοῖσι τόξοις·
ὁ θὴρ δ' ἔβαινε δειλῶς,
φοβεῖτο γὰρ Κυθήρην.
τῷ δ' εἶπεν Ἀφροδίτα,
'πάντων κάκιστε θηρῶν,
σὺ τόνδε μηρὸν ἴψω;
σύ μου τὸν ἄνδρ' ἔτυψας;'
ὁ θὴρ δ' ἔλεξεν ὧδε·
'ὄμνυμί σοι, Κυθήρη,
αὐτάν σε καὶ τὸν ἄνδρα
καὶ ταῦτά μου τὰ δεσμά
καὶ τώσδε τὼς κυναγώς·
τὸν ἄνδρα τὸν καλόν σευ
οὐκ ἤθελον πατάξαι,